νέοιϲ παραχθεὶϲ οἵτινεϲ τιμώμενοι
χαίρουϲι πολέμουϲ τ᾽ αὐξάνουϲ᾽ ἄνευ δίκηϲ,
φθείροντεϲ ἀϲτούϲ, ὁ μὲν ὅπωϲ ϲτρατηλατῆι,
ὁ δ᾽ ὡϲ ὑβρίζηι δύναμιν ἐϲ χεῖραϲ λαβών,
ἄλλοϲ δὲ κέρδουϲ οὕνεκ᾽, οὐκ ἀποϲκοπῶν
τὸ πλῆθοϲ εἴ τι βλάπτεται πάϲχον τάδε.
τρεῖϲ γὰρ πολιτῶν μερίδεϲ· οἱ μὲν ὄλβιοι
ἀνωφελεῖϲ τε πλειόνων τ᾽ ἐρῶϲ᾽ ἀεί·
οἱ δ᾽ οὐκ ἔχοντεϲ καὶ ϲπανίζοντεϲ βίου
δεινοί, νέμοντεϲ τῶι φθόνωι πλέον μέροϲ,
ἐϲ τούϲ ⟨τ᾽⟩ ἔχονταϲ κέντρ᾽ ἀφιᾶϲιν κακά,
γλώϲϲαιϲ πονηρῶν προϲτατῶν φηλούμενοι·
τριῶν δὲ μοιρῶν ἡ 'ν μέϲωι ϲώιζει πόλειϲ,
κόϲμον φυλάϲϲουϲ᾽ ὅντιν᾽ ἂν τάξηι πόλιϲ.
κἄπειτ᾽ ἐγώ ϲοι ϲύμμαχοϲ γενήϲομαι;
τί πρὸϲ πολίταϲ τοὺϲ ἐμοὺϲ λέγων καλόν;
χαίρων ἴθ᾽· εἰ γὰρ μὴ βεβούλευϲαι καλῶϲ
†αὐτὸϲ πιέζειν τὴν τύχην ἡμᾶϲ λίαν†.
Χο. ἥμαρτεν· ἐν νέοιϲι δ᾽ ἀνθρώπων τόδε
ἔνεϲτι· ϲυγγνώμην δὲ τῶιδ᾽ ἔχειν χρεών.
[ἀλλ᾽ ὡϲ ἰατρὸν τῶνδ᾽, ἄναξ, ἀφίγμεθα.]
Αδ. οὔτοι δικαϲτήν ⟨ϲ᾽⟩ εἱλόμην ἐμῶν κακῶν
οὐδ᾽, εἴ τι πράξαϲ μὴ καλῶϲ εὑρίϲκομαι,
τούτων κολαϲτὴν κἀπιτιμητήν, ἄναξ,
ἀλλ᾽ ὡϲ ὀναίμην. εἰ δὲ μὴ βούληι τάδε,